φαλὴν αὐτοῦ. καὶ περιέβαλον αὐτὸν ἱμάτια καὶ ἐπέθηκαν κίδαριν
καθαρὰν ἐπὶ τὴν κεφαλὴν αὐτοῦ, καὶ ὁ ἄγγελος κυρίου εἱστήκει.
6 7 [6]καὶ διεμαρτύρατο ὁ ἄγγελος κυρίου πρὸς Ἰησοῦν λέγων [7]Τάδε
λέγει κύριος παντοκράτωρ Ἐὰν ἐν ταῖς ὁδοῖς μου πορεύῃ καὶ ἐὰν
τὰ προστάγματά μου φυλάξῃς, καὶ σὺ διακρινεῖς τὸν οἶκόν μου·
καὶ ἐὰν διαφυλάξῃς καί γε τὴν αὐλήν μου, καὶ δώσω σοι ἀνα-
8 στρεφομένους ἐν μέσῳ τῶν ἑστηκότων τούτων. [8]ἄκουε δή, Ἰησοῦ
ὁ ἱερεὺς ὁ μέγας, σὺ καὶ οἱ πλησίον σου οἱ καθήμενοι πρὸ προσ-
ώπου σου, διότι ἄνδρες τερατοσκόποι εἰσί· διότι ἰδοὺ ἐγὼ ἄγω
9 τὸν δοῦλόν μου Ἀνατολήν· [9]διότι ὁ λίθος, ὃν ἔδωκα πρὸ προσ-
ώπου Ἰησοῦ, ἐπὶ τὸν λίθον τὸν ἕνα ἑπτὰ ὀφθαλμοί εἰσιν· ἰδοὺ
ἐγὼ ὀρύσσω βόθρον, λέγει κύριος παντοκράτωρ, καὶ ψηλαφήσω
10 πᾶσαν τὴν ἀδικίαν τῆς γῆς ἐκείνης ἐν ἡμέρᾳ μιᾷ. [10]ἐν τῇ ἡμέρᾳ
ἐκείνῃ, λέγει κύριος παντοκράτωρ, συγκαλέσετε ἕκαστος τὸν πλη-
σίον αὐτοῦ ὑποκάτω ἀμπέλου καὶ ὑποκάτω συκῆς.
4 [1]Καὶ ἐπέστρεψεν ὁ ἄγγελος ὁ λαλῶν ἐν ἐμοὶ καὶ ἐξήγειρέν με
2 ὃν τρόπον ὅταν ἐξεγερθῇ ἄνθρωπος ἐξ ὕπνου αὐτοῦ [2]καὶ εἶπεν
πρός με Τί σύ βλέπεις; καὶ εἶπα Ἑώρακα καὶ ἰδοὺ λυχνία χρυσῆ
ὅλη, καὶ τὸ λαμπάδιον ἐπάνω αὐτῆς, καὶ ἑπτὰ λύχνοι ἐπάνω αὐ-
3 τῆς, καὶ ἑπτὰ ἐπαρυστρίδες τοῖς λύχνοις τοῖς ἐπάνω αὐτῆς· [3]καὶ
δύο ἐλαῖαι ἐπάνω αὐτῆς, μία ἐκ δεξιῶν τοῦ λαμπαδίου καὶ μία ἐξ
4 εὐωνύμων. [4]καὶ ἐπηρώτησα καὶ εἶπον πρὸς τὸν ἄγγελον τὸν λα-
5 λοῦντα ἐν ἐμοὶ λέγων Τί ἐστιν ταῦτα, κύριε; [5]καὶ ἀπεκρίθη ὁ ἄγγελος
ὁ λαλῶν ἐν ἐμοὶ καὶ εἶπεν πρός με Οὐ γινώσκεις τί ἐστιν ταῦτα;
6 καὶ εἶπα Οὐχί, κύριε. [6]καὶ ἀπεκρίθη καὶ εἶπεν πρός με λέγων Οὗτος
ὁ λόγος κυρίου πρὸς Ζοροβαβελ λέγων Οὐκ ἐν δυνάμει μεγάλῃ
οὐδὲ ἐν ἰσχύι, ἀλλ᾽ ἢ ἐν πνεύματί μου, λέγει κύριος παντοκράτωρ.
7 [7]τίς εἶ σύ, τὸ ὄρος τὸ μέγα, πρὸ προσώπου Ζοροβαβελ τοῦ κατορ-
θῶσαι; καὶ ἐξοίσω τὸν λίθον τῆς κληρονομίας ἰσότητα χάριτος
8 9 χάριτα αὐτῆς. [8]καὶ ἐγένετο λόγος κυρίου πρός με λέγων [9]Αἱ χεῖρες
Ζοροβαβελ ἐθεμελίωσαν τὸν οἶκον τοῦτον, καὶ αἱ χεῖρες αὐτοῦ

5 και περιεβ. αυτον ιματια / και επεθ. — αυτου ult. AQW*L*] tr. BS$^c$, και επεθ. — αυτου ult. > S* | κιδαριν ult.] pr. μιτραν W† (W$^c$ deleuit κιδαριν), pr. μιτραν και *L* || 6 προς ιησουν / λεγων] tr. A† || 7 εαν εν QW*L*] εν B*, εαν SA B$^c$*C* | εαν τα προσταγμ. μου φυλαξης *L*] εν(> B$^c$†) τοις προσταγμασιν μου φυλαξη(uel -ασση) BSAQW*C* | διαφυλαξης QW*C*] δια > A†, -ασσης BS*L* | και γε AQW*pau.] > rel. || 8 ιησους B† | οι 2$^0$] pr. και AQ | σου 2$^0$ > B† | αγω] επαγω S$^c$V†, επι W*†, επαγω επι W$^{c(†)}$ || 10 συγ(uel ν)καλεσετε B*S*Q*] -σεται B$^c$S$^c$*L*, -σατε AQ$^c$W*C*

4 1 εξηγειρεν] εξηρεν B† | εξεγερθη] εξερθη (sic) A† || 3 λαμπαδιου W† = 𝔐] + αυτης rel. || 4 λεγων > AV† || 5 προς με ⌒ 6 προς με S*† | 5 προς με Wpau. = 𝔐] > A†, + λεγων rel. || 7 προ *L*†] pr. το BSAQ*C*, το W† || 9 εθεμελιωσεν B†

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id41624694X/552 UNIVERSITÄT LEIPZIG